# Ἰωάννου γραμματικοῦ τοῦ Τζέτζου
# Τὰ πρὸ Ὁμήρου

Ἀργαλεοῦ πολέμοιο μέγαν κλόνον Ἰλιακοῖο
ἔννεπε, Καλλιόπεια, ὑφ᾽ ἡμετέρῃσιν ἀοιδαῖς,
ἀρχῆθε δ᾽ ἐπαέιδε καὶ ἐς τέλος ἐξερέεινε,
ἐξ ὅτεο Πρίαμος λοιγὸν Τρώεσσι φυτεύει
δύσπαριν οὐλόμενον, ἀρχὴν πολέμοιο κακοῖο,
τὸν νόος οὐκ ἐρέεινεν Ὁμήρου κυδαλίμοιο.
Ἔννεπε δ᾽ Ἀργείης Ἑλένης ἐρόεσσαν ὀπωπήν,
πῶς τέ μιν ἦγεν Ἀλέξανδρος Σπάρτηθεν Τροίην.
Ἔννεπε δὲ πλόον Ἑλλήνων καὶ νῆας ἁπάσας·
εἰπὲ δὲ Πηλείδαο κότον καὶ ὄλεθρον Ἀχαιῶν,
Σαρπηδόντος Πατρόκλου τε καὶ Ἕκτορος οἶτον·
εἰπὲ δὲ Πενθεσίλειαν, κούρην ἀντιάνειραν.
Ἔννεπε δ᾽ Αἰθιόπων στρατόν, υἱέα τ᾽ Ἠριγενείης.
Φράζεο δ᾽ Αἰακίδαο πότμον δακρυόεντα·
Εὐρύπυλόν τε ἄειδε καὶ υἱέα Αἰακίδαο·
μαντείας δ᾽ Ἑλένου καὶ Ἀλεξάνδροιο φονῆα.
Εἰπὲ δὲ καὶ πτολίπορθον Ἐπείου δούριον ἵππον,
εἴσοκεν ἠΐστωσε πελώρια τείχεα Τροίης.
Ταῦτά μοι εὐπατέρεια, Διὸς τέκος, ἔννεπε Μοῦσα.
Ἤτοι μὲν Τροίη πολέμοις προτέροις μογέεσκε,
πέρσε γὰρ αὐτὴν Ἡρακλέος μένος ἀγριοθύμου·
δουρὶ δ᾽ αὖ αἱ Σκυθόμητρες ἐπέδραμον εἶτα γυναῖκες,
θυγατέρες Ἄρηος, Ἀμαζόνες ἀγκυλότοξοι.
Αὐτὰρ ἐπεὶ παύσαντο χερῶν ἀγέρωχοι ἐρωαί,
Ἄρεας αἱματόεντας ἐπ᾽ ἀλλήλοις προφέρουσαι

5 δύσπαριν, cf. *Il.* 3.39, 13.769 (δύσπαρι). Cf. et *Sud.* δ, 1681: Δύσπαρι· ἐπὶ κακῷ ὠνομασμένε, οἷον ζήσας ὡς Πάρις, δυσώνυμε. 5 ἀρχὴν πολέμοιο κακοῖο cf. *Il.* 8.374: Ἀλεξάνδροιο, τοῦ εἵνεκα νεῖκος ὄρωρε. 12 κούρην ἀντιάνειραν cf. *Il.* 3.189, 6.186 et Nonnus, *Dyon.* 48.248. 23 θυγατέρες Ἄρηος cf. Hdt. 4.114 ss., Schol. ad *Il.* 3.189: Ἀμαζόνες ἀντιάνειραι· παρὰ τῷ Θερμώδοντι οἰκοῦσιν. Ἄρεος καὶ Ἁρμονίας νύμφης Ναΐδος θυγατέρες εἰσίν. θυγατέρες Ἄρηος.

1 μέγαν κλόνον] κακὸν πόνον Jac. 4 ὅτεο] ὅτεω P, ὅτε ὁ Jac. 8 μιν] μέν A 8 Σπάρτηθεν Τροίην] Σπάρτηθεν ἐς Τροίην P, Σπαρτῆθε Τροΐην Jac. 13 υἱέα τ᾽] υἷά τε V, υἷα δ᾽ A 14 δακρυόεντα] ὀκρυόεντα V 17 δούριον] δούρειον A, δούρεον Jac. 20 Ἤτοι] ἤ τοι Schir. 20 προτέροις] πρότερον Bekk. 22 αἱ] om. Jac.

Τρῶες, ἀναπνεύσαντες ἀπὸ πτολέμου κρυεροῖο,
γαίης ἔργα νέμοντο παρ᾽ εἰρήνῃ κομόωντες.
Οὐδ᾽ ἄρα δὴν τάδε Μοίραις ἥνδανε χαλκεομίτοις.
Ἄλλα γὰρ αὖτις μέρμερα Τρώεσι Jac. μητιόωντο.
Τόφρα γὰρ οὖν τέρποντο παρ᾽ εἰρήνῃ κομόωντες
εἴσοκεν οὔνομα λυγρὸν ἐπ᾽ αὐτόφιν ἔπλετο Πάρις.
Αὐτὰρ ἐπεὶ Μοῖραι στιβαροὺς κλώσαντο ἀτράκτους,
τοὶ γαῖαν κλονέουσι καὶ οὐρανὸν ἠδὲ θάλασσαν,
εἶξαν δ᾽ ἀτράκτοισι θεοὶ μεδέοντες Ὀλύμπου,
Φαίνων ἠδὲ Ζὴν καὶ Ἄρης καὶ Φοῖβος Ἀπόλλων,
Ἀφροδίτη Ἑρμῆς τε καὶ Ἄρτεμις ἀγλαόμορφος,
ἠδ᾽ ἄλλοι δυοκαίδεκα, τρίς τε δέκα καὶ ὀκτώ,
καὶ τότε δὴ Τρώεσσιν ἐτεύχετο πήματος ἀρχή·
αὐτίκα γὰρ Πριάμῳ βασιλῆϊ κύεσκεν Ἑκάβη.
πρῶτα δὲ τὴν στροβέεσκον ὄνειροι ἠερόφοιτοι,
γρυνὸν γὰρ πυρόεντα τεκεῖν δοκέεσκεν ὀνείροις,
ὃς πρῆσε Τροίην τε καὶ ἄστεα Τρώϊα πάντα.
Μάντεις δ᾽ αὖ τὸν ὄνειρον ὑπεκρίνοντο, λέγοντες·
«γαστέρι παῖδα φέρεις, Ἑκάβη, Τρώεσσιν ὄλεθρον.»
ὣς ἄρα μάντιες ἀτρεκέως τόθ᾽ ὑπεκρίνοντο.
αὐτὰρ ἐπεὶ τέκε Τρωσὶν Ἑκάβη δύσγονον υἷα,
οὔνομα τῷδε Πάριν θέτο, τὸν μὴ ὄφελλε τεκέσθαι.
Αὐτὰρ ἄρα Πρίαμος παιδὸς γενέθλην ὑποτρείων,
ἤλυθε χρησόμενος παρὰ βωμοῖς Ἠελίοιο.
Ἦν δέ τις ἐν Τρώεσσιν Ἀπόλλων, μάντις ἀμύμων,
νηῷ ἐν ἠγαθεῷ φαεσιμβρότου Ἠελίοιο,
ὃς χρησμοῖσι τάδε προέειπεν μαντοσύναις τε·
«Φράζεο, Τρώων ὄρχαμε, Φοίβου μῦθον ἐμοῖο.

28 χαλκεομίτροις cf. Pind. *Nem.* 10.170, Lycophr. 997. Cf. Pl. *R.* 10.329. 44 Τρώεσσιν ὄλεθρον cf. Apollod. 3.149: τῆς πατρίδος γενέσθαι τὸν παῖδα ἀπώλειαν. 47 ὄφελλε τεκέσθαι cf. *Il.* 7.389 s.

28 δὴν] μὴν Jac. 28 χαλκεομίτοις] χαλκεωμίτοις V, χαλκεομήτοις Jac. 29 Ἄλλα] ἀλλὰ A 29 αὖτις] αὖθις Jac. 29 Τρώεσι] Τρωσὶ 31 ἐπ᾽] ἀπ᾽ Jac. 31 Πάρις] Πράϊς L 32 στιβαροὺς] στιβαραὶ P 33 κλονέουσι] δονέουσι P 34 θεοὶ μεδέοντες] μεδέοντες πάμπαν P 37 ἠδ᾽] οἱ δ᾽ P 38 ἐτεύχετο] ἐπέσχετο L 40 ἠερόφοιτοι] ἠεροφοῖται P, ἠερόφατμοι L 43 δ᾽ αὖ τὸν] δ᾽ αὐτὸν L 44 φέρεις] φέρει L 45 μάντιες] μάντεες Jac. 45 ἀτρεκέως] ἀτρεκέες Jac. 45 τόθ᾽] om. Jac.; Bekk. ex V 47 τὸν μὴ] ὃν μὲν V 48 γενέθλην] γένεθλον V 48 ὑποτρείων] ὑποτρείσας V; cf. Jac. (p. 10, n. 48): «scribendum saltem ὑποτρέσσας» 49 χρησόμενος] χρυσόμενος L 49 βωμοῖς] βωμοῖσιν V 50 Ἀπόλλων] Ἀπόλονι L 52 χρησμοῖσι] χρησμῇσι V 52 προέειπεν] προσέειπεν AL 52 μαντοσύναις] μαντοσύνῃ L

ἀρτιτόκοιο λοχεύματος ἐκ Πάριδος, σέο παιδός,
ἄστυ τόδε Τροίης πολύμοχθος Ἄρης ἐκπέρσει,
εἴ κέν ὁ παῖς λυκάβαντας ὑπερθορέῃ τριάκοντα.»
Αὐτὰρ ἐπεὶ τό γ᾽ ἄκουσε βίῃ Πριάμοιο ἄνακτος,
ἔκθετο μὲν τὸν παῖδα παρ᾽ ἀγροῖς οἷσι τρέφεσθαι,
δείματο δ᾽ αὖ Πάριον τιμῇ Πάριδος, ἕω παιδός.
κεῖσε δ᾽ ὁ παῖς ἀτίταλλε, διδασκόμενος περὶ πάντων,
ὅσσα γόνοις ἐπέοικεν ἐϋγενέων βασιλήων.
ῥήτωρ δ᾽ αὖ γεγαὼς συγγράμματα γράψατο πολλά,
εἰν ἑνὶ δ᾽ αὖτε θεὰν ἐπιθυμίην, Ἀφροδίτην,
κρίνων, Παλλάδος ἠδ᾽Ἥρης γε ὑπέρτερα δῶκεν.
αὐτὰρ ἐμοὶ δοκέει τόδε λώϊον ἔμμεναι ἄλλο,
ὥς ῥα σοφὸς τελέων περὶ κόσμου γράψε γενέθλης,
ἐκ Χάεος Ἐρέβους τε ὅπως πρώτιστα φάανθεν
Πηλεύς, γαῖα φερέσβιος, ἠδὲ Θέτις γε, θάλασσα,
ἐν δ᾽Ἥρη πυρόεσσα, καὶ ἤερος εὖρος, Ἀθήνη·
σὺν δ᾽ ἄρα τῇς ἐπέην φιλίη, χρυσῆ Ἀφροδίτη.
νεῖκος δ᾽ αὖτ᾽,Ἔρις, ἔνθετο μῆλον, κόσμον, ἄεθλον.
τὰς δ᾽ ἄρα μὴν νικήσασα φιλίη, Ἀφροδίτη,
εἵλετο κόσμον ἅπαντα καὶ ἔμπεδον εἴσετι ἴσχει.
τοὔνεκα μυθεύσαντο γάμους καὶ ἔριν δὲ θεάων.
τοῖα μὲν υἱὸς ὅδε Πριάμοιο Παρίῳ ῥέζεσκεν.
Αὐτὰρ ἐπεὶ τριάκοντα παρέδραμόν οἱ λυκάβαντες,
αὐτικ᾽ ἄρα Πρίαμος καὶ Τρώων ἄσπετα φῦλα
ἐκ Παρίου μολπῇσιν ἀγίνεον ἐς Τροίην Πάριν,
ἄφρονες, οὐδ᾽ ἐνόησαν ἑὸν φθόρον ἐγκονέοντες.

55 ἐκπέρσει cf., e. g. *Il.* 1.19. 55 πολύμοχθος Ἄρης cf. Eur. *Phoen.* 791. 59 Πάριον cf. Strab. 13.1.14; *Sud.* π 652. 62 γράψατο πολλά cf. Ath. 12.510 C. 63 ἐπιθυμίαν cf. Ath. 15.687 C. 78 Cf. Hyg., *Fab.* 91. 79 Cf. *Posthom.* 698.

54 ἀρτιτόκοιο] ἀρχετόκοιο V 55 πολύμοχθος] πολύμοχλος L 55 ἐκπέρσει] καταπέρσει L 56 εἴ κέν ὁ] , εἴκεν ὁ Jac., εἴσοκε V 56 ὑπερθορέῃ] ὑπεκθορέῃ V 57 τό γ᾽] τὸν V 57 Πριάμοιο] Πριάμου Jac. 57 ἄνακτος] βασιλῆος Jac. 58 τὸν] om. V 58 ἀγροῖς] ἀγροῖσι V 59 Πάριδος] Πάριος Jac. 60 δ᾽ ὁ] δὲ Jac. 61 γόνοις] γόνους Jac. 62 αὖ] αὖτε Vat. 62 γεγαὼς] γεγαγὼ V 62 συγγράμματα] γράμματα Vat. V 63 ἐπιθυμίην] ἐπιθυμίαν Jac. 64 γε] om. Jac. 65 δοκέει] δοκεῖ L 65 ἄλλο] ἄλλων P 66 ὥς] ὅς L 66 τελέων] τε ἐὼν Vind. 67 Ἐρέβους] Ἐρέβου Jac. 67 φάανθεν] φαάνθη P 69 ἐν δ᾽] ἔνδ᾽ Jac. 69 ἤερος] ἀέρος Jac. 70 ἐπέην] ἐπ᾽ ἐήν Vind. 71 νεῖκος] μεῖκος Jac. 71 μῆλον] om. Jac. 74 μυθεύσαντο] μυθήσαντο Jac. 74 γάμους καὶ ἔριν δὲ θεάων] γάμους τε ἔριν δὲ θεάων Vind., γάμους τε ἔριν θεάων Jac. 75 Πριάμοιο] Πριάμου Jac. Bekk. 75 Παρίῳ ῥέζεσκεν] Πάριοι ῥέζεσθεν L 78 μολπῇσιν] κολπῇσιν Vind. 78 Πάριν] Παρίην Vind.

Ξανθικὸς ἦεν μείς, ὅτ᾽ ἀγίνεον αὐτὸν ἐς ἄστυ,
Ξανθικός, ὃν Ἀπρίλλιον Ἕλληνες καλέουσιν·
εἰκοστῷ καὶ δευτέρῳ ἤματι τοῖο δὲ ἤχθη.
τέρπετο δ᾽ αὖ τοκέεσσι κασιγνήτοις τ᾽ ἐνὶ Τροίῃ,
ῥέζων πατρῴοισι θεοῖς κλειτὰς ἑκατόμβας,
ἑπτάσιν ὀκταπόροις καλλιχρόου Ἠριγενείης.
εὖτ᾽ ἂν δ᾽ ἕβδομον ἦμαρ ἔην πεντηκοστόν τε,
ὀγδοάτῃ δεκάτῃ τε Δεσίου Ἰουνίοιο,
καὶ τότε μιν προέηκε πατὴρ ἐπὶ Ἄργεος ἄστυ,
ῥέξαι νηῷ Ἀπόλλωνος λυγρῶν ἀπερωήν.
δῶκε δέ οἱ ἀνέρας ἑκατὸν καὶ κάλλιμα δῶρα,
δῶκε δὲ γράμματ᾽ ἄγειν Ἀργείων ἐν βασιλεῦσιν,
ὄφρα γένοιτο φίλος καὶ ἐκτελέσοι ἑκατόμβας.
δείδιε γὰρ ἀΐων, Γανυμήδης οἷα πεπόνθει
Ταντάλου ὕπο ἄνακτος, ἐϋγενέος βασιλῆος·
τοὔνεκα τὸν προέηκε σὺν ἀνδράσι, γράμμασι, δώροις.
αὐτὰρ ὅ γ᾽ ἁλμυρὸν ὕδωρ πλεύσας Ἐννοσιγαίου,
ἐς Σπάρτην ἐπαγαλλόμενος Διὸς ἤλυθεν οὔροις,
δέκτο δ᾽ ἐπ᾽ Ἀτρείδαο δόμοις ξανθοῦ Μενελάου.
ὃς Μενέλαος τοῖο δεδεγμένος ἀγλαὰ δῶρα
ἔπλεεν ἐς Κρήτην, Διὶ εἷο προπάτορι ῥέξων,
Ἀστερίῳ, βασιλῆϊ Κρητάων περ ἐόντι.
οἱ πρὶν γάρ τε Δίας πάντας κάλεον βασιλῆας,
οὕνεκά μὴν καλὸς Διὸς ἀστὴρ σκῆπτρον ὀπάζει,
ἔξοχα δ᾽ αὖ μοίρῃσι παραὶ Νεμέοιο λέοντος.
ἐν πέμπτῃ δὲ μάλιστα· τὸ γὰρ βασιλεύτατον ἄλλων,
ἠελίοιο Ζῆνα παρ᾽ ἀκτίνεσσι φαείνειν.
Ἦτοι ὅ γ᾽ ἐς Κρήτην πλέεν, εἷο προπάτορι ῥέξων,
δώμασιν οἷσι δ᾽ ἔλειπεν Ἀλέξανδρον σὺν ἑταίροις,
ὃς δή τοι ἐπὶ δείελα ἰδὼν τοῖο δάμαρτα

94 Cf. Eusth. *Il.* 23.1280.

80 Ξανθικὸς] Ξαντικὸς Vin. 81 Ἕλληνες] ῥήενες L 82 εἰκοστῷ καὶ δευτέρῳ] εἰκοστῷ δὲ καὶ L 82 τοῖο δὲ] τοῖοδε Jac. 85 ὀκταπόροις] ὀκτασπόροις Vind. 86 ἕβδομον] ἕο δόμον Vind. 87 τε] om. Jac. 87 Ἰουνίοιο] Ἰουνίου P 88 προέηκε] προσῆκε L, προσένκε Vind. 89 λυγρῶν] κακῶν Jac. 91 ἐν] εὖ Tychs. 92 ἐκτελέσοι] ἐκτελέσῃ Jac. 95 προέηκε] προσένκε Vind. 95 γράμμασι, δώροις] γράμματι, δώροις L, γράμματα γράψας V 97 ἐπαγαλλόμενος] ἐπαγγελλόμενος L, ἐπαγόμενος V 98 δέκτο δ᾽ ἐπ᾽] δέκτ᾽ ἐπ᾽ L 101 Κρητάων περ ἐόντι] Κρητά περ ἔοντι L 102 κάλεον] ἐκάλουν P, ἐκάλεον A L 103 μὴν] μὴ L, μιν Bekk., Jac. 104 παραὶ Νεμέοιο] παραίνο μέοιο L. 108 δώμασιν οἷσι δ᾽] δώμασιν δ᾽ οἷσι Jac.

δουλίσιν ἀμφιπόλοισι κατερχομένην περὶ κῆπον,
κάλλεϊ ἱμερόεντι περιπρεπέϊ γανόωσαν,
ἔρωτος βελέεσσι πυριφλεγέεσσιν ἐπλήγη.
οὐδὲ μὲν οὐκ ἀντέπληξε, πλῆξε δὲ καὶ αὐτήν·
ἀμφοτέροις ἐρατὸν γὰρ ἐπ᾽ εἴδεϊ κάλλος ἔκειτο.
ἡ γὰρ ἔην λευκή, τερενόχροος, εὔοφρυς, εὔριν,
λευκῷ δηριόωσα καὶ ἀργεννῆς χιόνεσσιν,
στήθεα δ᾽ ἱμερόεντα καὶ ἀγλαὸν εἶδος ἔχουσα,
ὑγρῶπις, μελίγηρυς, ἐΰχαρις ἠδὲ βοῶπις,
θριξὶν ἑλισσομένῃσι χρυσοχρόοις κομόωσα,
εὔστολος ἠδὲ τελείη, πάντα φέρουσα τέλεια.
τόσσον δ᾽ αὖ προφέρεσκε γυναικῶν κάλλεϊ πασῶν,
ἀστράσιν ἐννυχίοισιν ὅσον προφέρῃσι σελήνη.
ἥβης δ᾽ αὖ χρόνον εἶχεν ἐεικοστόν τε καὶ ἕκτον.
τοία μὲν ἦεν κάλλεϊ κούρη Τυνδαρειώνη.
αὐτὸς δ᾽ αὖτε Πάρις Χαρίτων ἄπο κάλλος ἔχεσκε·
λευκὸς ἔην, εὐήλιξ, εὔχαρις, ἠϋγένειος,
θριξὶν ἑλιχρύσοισι καρηκομόων ὑπὲρ πάντας.
τοῖος ἐὼν τοίης ἐράσατο, πόθει δὲ καὶ αὐτή.
Αὐτὰρ ἐπεὶ σήμηναν ἐπ᾽ ἀλλήλοισιν ἔρωτα
Αἴθρης ἐννεσίῃσι καὶ ἄλλων θηλυτεράων,
νηὶ ἐνιθέμενοι δμωὰς κόσμον τ᾽ ἐρατεινόν,
ἠδ᾽ αὐτὴν Αἴθρην δολόεσσαν, πρὸς δὲ καὶ αὐτούς,
φεῦγον ἐπ᾽ ἀτρυγέτοιο θαλάσσης Τύριον οἶδμα,
δειδιότες περάαν πλόον, ὃν Τροίηθεν ἐπέπλων.
Αὐτίκα δ᾽ ἐς Κρήτην Μενελάου οἰκέες ἦλθον,
ἀγγελίην ἐρέοντες· ὁ δ᾽ ἔπλεεν ὦκα μάλιστα,
εὐρυπόρου Σεισίχθονος οἴδματα πάντα ματεύων.
πολλὰ δ᾽ ἀπρὴξ μογέεσκε, μάτην ἀκίχητα διώκων·
κεῖνοι γάρ τε μέγα πέλαγος Τύριον περόωντες

112 Cf. Schol. ad Il. 3.443. 118 Cf. Catull. 45.11. 122 Cf. Theocr. 18.26, Horat. I Carm. 12.47. 130 Cf. *Il.* 3.144. 133 Cf. Schol. ad Il. 6.290, Hdt. 2.117.

110 δουλίσιν] δούλῃσιν Vind., δούλαις Jac. 110 κῆπον] κήπου Jac. 112 ἔρωτος] ἐρώτων Bekk. 112 πυριφλεγέεσσιν] περιφλεγέεσσιν V 112 ἐπλήγη] ἐπλήγει Vind. 113 πλῆξε] πλῆξεν P 116 λευκῷ δηριόωσα] λευκοδηριόωσα Jac. 116 ἀργεννῆς] ἀργεννὴς Jac. 120 εὔστολος ἠδὲ τελείη] εὐτόστολος ἠδὲ πελείη Vind. 123 ἥβης] ἦμος Jac. 123 χρόνον] χρόνιος Vind. 124 ἦεν] εἶεν Vind. 125 κάλλος ἔχεσκε] κάλλεος ἔσχεν Jac. 127 ὑπὲρ] περὶ Bekk. 128 τοίης] om. Jac. 128 αὐτή] αὐτός Jac. 130 ἐννεσίῃσι] αἰνεσίῃσιν P V 131 ἐνιθέμενοι] ἐνὶ θέμενοι Jac. 132 Αἴθρην] Ἔθρην V 134 ἐπέπλων] ἔπεπλον Jac. 135 οἰκέες] οἴκιες Jac.

ἄστυ Τρώϊον εἶδον, ὅλον λυκάβαντα μογεῦντες.
Τρωϊάδες δ᾽ Ἑλένην ἰδὲ Τρῶες πάντες ἰδόντες
θάμβεον, ὡς μάρμαιρεν ἀριπρεπέεσσιν ὀπωπάις.
τὴν δ᾽ Ἑκάβη φιλέεσκε καὶ ἐν μεγάροισιν ἐτίμα.